ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων".
τὴν δ' οὐκ ἀνεκτὸς οὐδ' ἐν ὀφθαλμοῖς ἰδεῖν
οὔτ' ἄσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον ὥσπερ ἀμφὶ τέκνοισιν κύων,
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίη
ἐχθροῖσιν ἶσα καὶ φίλοισι γίνεται·
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμὴς
ἕστηκ', ἀπήμων, χάρμα ναύτηισιν μέγα,
θέρεος ἐν ὥρηι, πολλάκις δὲ μαίνεται
βαρυκτύποισι κύμασιν φορεομένη.
ταύτηι μάλιστ' ἔοικε τοιαύτη γυνὴ
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.
   τὴν δ' ἔκ †τε σποδιῆς† καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκηι σύν τ' ἐνιπῆισιν μόγις
ἔστερξεν ὧν ἅπαντα κἀπονήσατο
ἀρεστά· τόφρα δ' ἐσθίει μὲν ἐν μυχῶι
προνὺξ προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρηι.
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόντ' ἑταῖρον ὁντινῶν ἐδέξατο.
   τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος·
κείνηι γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν οὐδὲ τερπνὸν οὐδ' ἐράσμιον.
εὐνῆς δ' ἀδηνής ἐστιν ἀφροδισίης,
τὸν δ' ἄνδρα τὸν †παρόντα ναυσίηι διδοῖ.